οὐδὲ τόσον τὸν ἀοιδὸν ὀδύρατο Τήιον ἄστυ·
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος, ἀντὶ δὲ Σαπφοῦς
εἰσέτι σεῦ τὸ μέλισμα κινύρεται ἁ Μιτυλήνα.

. . . . . . . . .

ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
βουκολικᾶς, ἀλλ᾽ ἅντε διδάξαο σεῖο μαθητάς
κλαρονόμος μοίσας τᾶς Δωρίδος, ᾇ με γεραίρων
ἄλλοις μὲν τεὸν ὄλβον ἐμοὶ δ᾽ ἀπέλειπες ἀοιδάν.

ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε, Μοῖσαι.

αἰαῖ ταὶ μαλάχαι μέν, ἐπὰν κατὰ κᾶπον ὄλωνται,
ἠδὲ τὰ χλωρὰ σέλινα τό τ᾽ εὐθαλὲς οὖλον ἄνηθον
ὕστερον αὖ ζώοντι καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ᾽ οἱ μεγάλοι καὶ καρτεροί, οἱ σοφοὶ ἄνδρες,
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
καὶ σὺ μὲν ὦν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
ταῖς Νύμφαισι δ᾽ ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν.
ταῖς δ᾽ ἐγὼ οὐ φθονέοιμι, τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.

ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε, Μοῖσαι.

φάρμακον ἦλθε, Βίων, ποτὶ σὸν στόμα, φάρμακον ἦδες.
τοιούτοις χείλεσσι ποτέδραμε κοὐκ ἐγλυκάνθη;